**SESSION 1999**

# AGRÉGATION
# CONCOURS EXTERNE

## Section : LETTRES CLASSIQUES

## VERSION GRECQUE

*Le roi Pélasgos protège les Danaïdes contre le héraut égyptien qui tente de les emmener de force.*

ΒΑ.
οὗτος, τί ποιεῖς; ἐκ ποίου φρονήματος
ἀνδρῶν Πελασγῶν τήνδ´ ἀτιμάζεις χθόνα;
ἀλλ´ ἦ γυναικῶν ἐς πόλιν δοκεῖς μολεῖν;
κάρβανος ὢν Ἕλλησιν ἐγχλίεις ἄγαν·
καὶ πόλλ´ ἁμαρτὼν οὐδὲν ὤρθωσας φρενί.

ΚΗ.
τί δ´ ἠμπλάκηται τῶνδ´ ἐμοὶ δίκης ἄτερ;

ΒΑ.
ξένος μὲν εἶναι πρῶτον οὐκ ἐπίστασαι.

ΚΗ.
πῶς δ´ οὐχί; τἄμ´ ὀλωλόθ´ εὑρίσκων ἄγω.

ΒΑ.
ποίοισιν εἰπὼν προξένοις ἐγχωρίοις;

ΚΗ.
Ἑρμῇ, μεγίστῳ προξένων, μαστηρίῳ.

ΒΑ.
θεοῖσιν εἰπὼν τοὺς θεοὺς οὐδὲν σέβῃ.

ΚΗ.
τοὺς ἀμφὶ Νεῖλον δαίμονας σεβίζομαι.

ΒΑ.
οἱ δ´ ἐνθάδ´ οὐδέν, ὡς ἐγὼ σέθεν κλύω;

ΚΗ.
ἄγοιμ´ ἄν, εἴ τις τάσδε μὴ ´ξαιρήσεται.

ΒΑ.
κλαίοις ἄν, εἰ ψαύσειας, οὐ μάλ´ ἐς μακράν.

ΚΗ.
ἤκουσα, τοὖπος δ´ οὐδαμῶς φιλόξενον.

ΒΑ.
οὐ γὰρ ξενοῦμαι τοὺς θεῶν συλήτορας.

ΚΗ.
λέγοιμ´ ἂν ἐλθὼν παισὶν Αἰγύπτου τάδε.

ΒΑ.
ἀβουκόλητον τοῦτ´ ἐμῷ φρονήματι.

ΚΗ.
ἀλλ´ ὡς ἂν εἰδὼς ἐννέπω σαφέστερον—
καὶ γὰρ πρέπει κήρυκ´ ἀπαγγέλλειν τορῶς
ἕκαστα—πῶς φῶ, πρὸς τίνος τ´ ἀφαιρεθεὶς
ἥκειν γυναικῶν αὐτανέψιον στόλον;
οὔτοι δικάζει ταῦτα μαρτύρων ὕπο
Ἄρης, τὸ νεῖκος δ´ οὐκ ἐν ἀργύρου λαβῇ
ἔλυσεν· ἀλλὰ πολλὰ γίγνεται πάρος
πεσήματ´ ἀνδρῶν κἀπολακτισμοὶ βίου.

ΒΑ.
τί σοι λέγειν χρὴ τοὔνομ´; ἐν χρόνῳ μαθὼν
εἴσῃ σύ τ´ αὐτὸς χοἰ ξυνέμποροι σέθεν.
ταύτας δ´ ἑκούσας μὲν κατ´ εὔνοιαν φρενῶν
ἄγοις ἄν, εἴπερ εὐσεβὴς πίθοι λόγος.
τοιάδε δημόπρακτος ἐκ πόλεως μία
ψῆφος κέκρανται, μήποτ´ ἐκδοῦναι βίᾳ
στόλον γυναικῶν· τῶνδ´ ἐφήλωται τορῶς
γόμφος διαμπάξ, ὡς μένειν ἀραρότως.

Eschyle, *les Suppliantes*, v.911-945